*συγκλήτου στρατηγὸς χειροτονηθεὶς ἐγκρατὴς ἐγένετο τῆς νίκης ταύτης, ἐν ᾗ Λεύκιος Γλαύκων εὐγενὴς ἀνὴρ τὴν Ἀσδρούβα κατέχων ναῦν ἀμφοτέρας ἀπέβαλε τὰς*
D *χεῖρας· καθάπερ ἱστορεῖ Ἀριστείδης Μιλήσιος ἐν πρώτῃ Σικελικῶν* (FHGr. IV 324), *παρ' οὗ τὴν ὑπόθεσιν ἔμαθε Διονύσιος ὁ Σικελιώτης.*

**2 A a.** *ΞΕΡΞΗΣ μετὰ πεντακοσίων μυριάδων Ἀρτεμισίῳ προσορμίσας πόλεμον τοῖς ἐγχωρίοις κατήγγειλεν· Ἀθηναῖοι δὲ συγκεχυμένοι κατάσκοπον ἔπεμψαν Ἀγησίλαον, τὸν Θεμιστοκλέους ἀδελφόν, καίπερ Νεοκλέους τοῦ πατρὸς αὐτοῦ κατ' ὄναρ ἑωρακότος ἀμφοτέρας ἀποβεβληκότα τὰς χεῖρας. παραγενόμενος δ' εἰς τοὺς βαρβάρους ἐν σχήματι Περσικῷ Μαρδόνιον, ἕνα τῶν σωματοφυλάκων, ἀνεῖλεν ὑπολαμβάνων Ξέρξην εἶναι. συλληφθεὶς δὲ*
E *πρὸς τῶν πέριξ δέσμιος ἤχθη πρὸς τὸν βασιλέα. βουθυτεῖν δὲ τοῦ προειρημένου μέλλοντος ἐπὶ τῷ τοῦ Ἡλίου βωμῷ τὴν δεξιὰν ἐπέθηκε χεῖρα, καὶ ἀστένακτος ὑπομείνας τὴν ἀνάγκην τῶν βασάνων ἠλευθερώθη τῶν δεσμῶν εἰπών ʽπάντες ἐσμὲν τοιοῦτοι Ἀθηναῖοι· εἰ δ' ἀπιστεῖς, καὶ τὴν ἀριστερὰν ἐπιθήσω.' φοβηθεὶς δ' ὁ Ξέρξης φρουρεῖσθαι αὐτὸν προσέταξε· καθάπερ ἱστορεῖ Ἀγαθαρχίδης Σάμιος ἐν δευτέρᾳ τῶν Περσικῶν* (FHGr. III 197).

**2 A b.** Stob. III 7, 64 (III 330 H.)

*Ἀγαθαρχίδου Σαμίου ἐν δ' Περσικῶν.*

*Ξ. . . . ἀμφοτ. ἀποβεβληκέναι τ. χεῖρ. παραγεν. δὲ ὁ ἀνὴρ εἰς πλῆθος τῶν βαρβάρων ἐν σχήμ. . . . ἀνεῖλεν ὑπολαβὼν Ξ. ὑπάρχειν. συλλ. δὲ ὑπὸ τῶν δορυφόρων πρὸς τὸν βασ. δέσμ. ἤχθη. βουθ. . . . μέλλ. ἐπὶ τὸν βωμὸν τοῦ Ἡλίου τὴν δεξ. ἐπ. χ. κ.*